05-05-2023 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ
ΜΕΤΑ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ

† Ἐφραίμ μεγαλομάρτυρος τοῦ νεοφανοῦς.

† Εἰρήνης μεγαλομάρτυρος.

Ἦχος Δι



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.



Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Τὸ Ἀναστάσιμον. Ἦχος β΄.




Ο ευ σχη η μων Ι ω σηφ α πο
του ξυ λου κα θε λων το α χραν τον σου Σω
ω ω ω μα σιν δο νι κα θα ρα ει λη σας
και α ρω ω μα σιν εν μνη μα τι και νω
κη δευ σας α πε θε το αλ λα τρι η με ρος α
νε στης Κυ υ ρι ε πα ρε χων τω κο σμω
το με γα ε ε ε λε ος

Ἀπολυτίκιον τοῦ Ἁγίου Εἰφραίμ.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.



Καὶ νῦν...

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος Δι



Μετὰ τὴν α΄ Σπχολογίαν.

Κάθισμα. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Νεόφωτος ἀστήρ, τῇ Χριστοῦ Ἐκκλησίᾳ, Ἐφραὶμ Θαυματουργέ, ἀληθῶς ἀνεδείχθης, ἀκτῖσι τῶν θαυμάτων σου, καταυγάζων τὰ πέρατα. Ὅθεν σήμερον, τῆς σῆς ἀθλήσεως μάκαρ, ἑορτάζομεν, τὴν ἑορτὴν τὴν ἁγίαν, Χριστὸν μεγαλύνοντες.

Δόξα... **Κ**αὶ νῦν.

Κάθισμα τῆς Ἑορτῆς. Ἦχος β΄.




κη σεν ο τι γνω μη συμ πα θης τω Θε ω ευ
η ρε στη σε προ σφο ρως ουν ε κρα αυ γα
ζον Α να στα Κυ ρι ε βο η θη σον η μιν
και λυ τρω σαι η μας ε νε κεν του ο νο
μα το ο ο ος σου

Μετὰ τὴν β΄ Στιχολογίαν.

Κάθισμα.

Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐπιπεσόντων τῇ ἁγίᾳ Μονῇ σου, ἀγαρηνῶν οἷα περ λύκων ἀγρίων, σὲ τοῦ Χριστοῦ ἀρνίον τὸ πραότατον, Πάτερ κατεσπάραξαν, πολυτρόποις βασάνοις· ἔνθεν ἀνελήλυθας, πρὸς οὐράνιον μάνδραν, ὁσιομάρτυς Ἅγιε Ἐφραὶμ, καὶ μαρτυρίου, ἐδέξω, διάδημα.

Δόξα.. Καὶ νῦν...

Κάθισμα τῆς Ἑορτῆς.

Ἦχος β΄. Ἀναστάσιμον

"Τὰ ἄνω ζητῶν".

Ἦχος πα Δι





Μετὰ τὸν Πολυέλεον.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Ἐν τῷ ὄρει Ἀμώμων ἀναδραμών, πρὸς αἰώνια ὄρη κατὰ Δαυϊδ, τὸν νοῦν σου ἀνύψωσας, διὰ βίου λαμπρότητος, καὶ μαρτυρίου δρόμον, ἀνδρείως διήνυσας, βαρβαρικῆς μανίας, γενόμενος σφάγιον· ὅθεν διπλοῦν γέρας, ἐκ Θεοῦ ἐκομίσω, καὶ βλύζεις ἰάματα, Ἐφραὶμ πάτερ τοῖς σπεύδουσι, τοῖς τιμίοις λειψάνοις σου· αὐτὰ γὰρ τῇ σεπτῇ σου Μονῇ, ὥσπερ πλοῦτον θεῖον ἐφανέρωσας, τοὺς πιστῶς προσιόντας, ἀεὶ ἁγιάζοντα.

Δόξα, Καὶ νῦν.

Κάθισμα τῆς Ἑορτῆς.

Ἦχος β΄.




τοις Α πο στο λοις ε λε γον την φθο ραν κα
θει λεν ο Κρα ται ος και τους εν Α δη ηρ πα σε
των δε σμων κη ρυ ξα τε παρ ρη σι ι ι ι
α ο τι α νε στη Χρι στος ο Θε ος δω
ρου με νος η μιν το με γα ε ε ε λε ος

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Ἦχος γ΄ τος







Προκείμενον. Ἦχος δ΄.



Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Τὸ τρίτον.



Καὶ ἀκολουθεῖ
ἡ τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου.

Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου.
Πᾶσα Πνοὴ Αἰνεσάτω.

Ὁ Διάκονος: Τοῦ Κυρίου δεηθῶμεν

Ὁ Χορός:



Ὁ Ἱερεύς: Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ...

Ὁ Χορός:



(Δίς)

Τὸ τρίτον



Ὁ Διάκονος: Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι .. Ὁ χορός:



Ὁ Διάκονος: Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ Χορός:

Ὁ Ἱερεύς: Ἐκ τοῦ κατὰ (...) Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Διάκονος: Πρόσχωμεν.

ὁ Χορός: 

Ὁ Ἱερεύς: (Ἀνάγνωσις Εὐαγγελίου)

Ὁ Χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν. Ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Εἶτα ἀναγινώσκεται ὁ Ν' ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι

Δο ξα Πα τρι και Υι ω και Α

γι ω Πνευ μα τι

Ταις του σου Ο σι ι ου πρε σβει αις ε ε

λε η μον ε ξα λει ψον τα πλη θη ν′ των ε μω

ων εγ κλη μα των

Και νυν και α ει και εις τους αι ω νας

των αι ω νων α μην

Ταις της Θε ο το ο κου πρε σβει αις ε

ε λε η μον ε ξα λει ψον τα πλη θη ν′ των ε

μω ων εγ κλη μα των

Ἦχος λ Πα



Ἰδιόμελον.

Ἦχος πλ. β΄.





Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄).



Εἶτα οἱ Κανόνες.

Κανὼν τῶν Μυροφόρων
Ὠδὴ α΄ Ἦχος β΄ Ὁ Εἱρμὸς

Τὴν Μωσέως ᾠδήν, ἀναλαβοῦσα βόησον ψυχή. Βοηθὸς καὶ σκεπαστής, ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐσταυρώθης σαρκί, ὁ ἀπαθὴς τῇ φύσει τοῦ Πατρός, ἐκεντήθης τὴν πλευράν, πηγάσας κόσμῳ αἷμα καὶ ὕδωρ. Σὺ ἡμῶν Θεός, καὶ δοξάζομέν σε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν Σταυρόν σου τιμῶ, καὶ τὴν Ταφὴν δοξάζω ἀγαθέ, καὶ ὑμνῶ καὶ προσκυνῶ τὴν Ἔγερσίν σου, καὶ ἀνακράζω· Σὺ ἡμῶν Θεός, καὶ δοξάζομέν σε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Τὴν ἀρχαίαν ἀράν, ἐν γαστρί σου λύσασα Σεμνή, ἀνεβλάστησας ἡμῖν, τὴν εὐλογίαν, βρέφος τεκοῦσα· οὗτος γὰρ Θεός, εἰ καὶ σάρκα φορεῖ.

Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α΄. Ἦχος α΄.

Σοῦ ἡ προπαιοῦχος δεξιά.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δόξης ἀπολαύων θεϊκῆς, καὶ φωτισμοῦ ἀπορρήτου πληρούμενος, λόγον μοι πρυτάνευσον, καὶ φωτισμόν μοι παράσχου πρεσβείαισσου, Ἐφραὶμ θεοφόρε, ὅπως ὑμνήσω τοὺς ἄθλους σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴθυνας τὸν νοῦν σου ἐκ παιδός, τοῖς τοῦ Κυρίου προστάγμασιν Ὅσιε, πρὸς ζωὴν τὴν κρείττονα, καὶ μοναστὴς θεοφόρος καὶ ἄμωμος, ἐν Ἀμώμων ὄρει, κατὰ Δαυϊδ ἐχρημάτισας.

Δόξα...

Δύναμιν λαβὼν παρὰ Θεοῦ, βαρβαρικῆς ἰταμότητος ἔφοδον, ἀκλινῶς ὑπέμεινας, τῆς εὐσεβείας προφαίνων τὴν δύναμιν, Ἐφραὶμ θεοφόρε, ἐν τῷ στρεβλοῦσθαι τὸ σῶμά σου.

Καὶ νῦν... Θεοτοκίον.

Ὅλη καθαρὰ καὶ ἐκλεκτή, τῆς παρθενίας ἐκλάμπουσα χάρισιν, ὤφθης Παναμώμητε, καὶ τὸν Θεὸν τῶν ἁπάντων ἐκύησας, ἐπ' εὐεργεσίᾳ, τῶν γηγενῶν σωματούμενων.

Κανὼν τῶν Μυροφόρων
Ὠδὴ γ΄ Ἦχος β΄
Ὁ Εἱρμὸς

Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεός, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου».

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὰς παλάμας Ἰησοῦ, προσηλώσας ἐν Σταυρῷ τὰ ἔθνη πάντα, ἐκ τῆς πλάνης συλλαβών, πρὸς ἐπίγνωσιν τὴν σήν, συνεκαλέσω Σωτήρ.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰουδαίων ὁ λαός, τῷ Πιλάτῳ ἐκβοᾷ· Ἀπόλυσόν μοι τὸν κακοῦργον λῃστήν, ἆρον, ἆρον, σταύρωσον τὸν ἀναμάρτητον.

Στίχ. **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Μακαρία εἶ Σεμνή, ἡ ἐκ ῥίζης Ἰεσσαί, ἐξ ἧς ἡ ῥάβδος, καὶ τὸ ἄνθος ὁ Χριστός, κατὰ σάρκα δι΄ ἡμᾶς, ἀναβλαστήσασα.

Κανὼν τοῦ Ἁγίου.
Ὠδὴ γ΄.
Ἦχος α΄.
Ὁ μόνος εἰδώς.

Στίχ. Ἅλγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑψώσας τὸν νοῦν σου πρὸς Θεόν, ταῖς θείαις ἀναβάσεσι, σαρκὸς τὸ φρόνημα ἀπενέκρωσας, καὶ ἀπαθείας ὤφθης κειμήλιον, πόνοις τῆς ἀσκήσεως. Ἐφραὶμ παμμακάριστε, προγυμνάζων σεαυτὸν πρὸς τὴν ἄθλησιν.

Στίχ. Ἅλγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς εἶδες ὡς θῆρες ἀπηνεῖς, κατὰ τῆς θείας μάνδρας σου, ἐπιπεσόντα στίφη τὰ βάρβαρα, ἔστης ἀκλόνητος καὶ ἀπτόητος, τούτων ἐπιθέσεσι, καὶ βασάνων ἔφοδον, παρ' αὐτῶν θεοφόρε ὑπέμεινας.

Δόξα...

Παντοίων κολάσεων ποινάς, ὑπήνεγκας ὡς ἄσαρκος, καὶ τοῦ Βελίαρ πᾶσαν τὴν δύναμιν, τῇ ἀνενδότῳ πάτερ ἐνστάσει σου, Ἐφραὶμ ἐξενεύρισας, καὶ Μαρτύρων στέφανον, ἐκ Θεοῦ ἐκομίσω μακάριε.

Καὶ νῦν... Θεοτοκίον.

Ἁγίων τὸν Ἅγιον Ἁγνή, ὡς οἶκος ἁγιάσματος, καὶ παρθενίας πάναγνον σκήνωμα, σαρκὸς ἐν εἴδει ἡμῖν γεγένηκας· ὅθεν καθαγίασον, θερμῶς ἱκετεύω σε, τὴν ῥυπῶσαν Παρθένε καρδίαν μου.

Κοντάκιον τῆς ἑορτῆς. Ἦχος β΄. Χῦμα

Τὸ Χαῖρε ταῖς Μυροφόροις φθεγξάμενος, τὸν θρῆνον τῆς προμήτορος Εὔας κατέπαυσας, τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, τοῖς Ἀποστόλοις δὲ τοῖς σοῖς κηρύττειν ἐπέταξας, ὁ Σωτὴρ ἐξανέστη τοῦ μνήματος.

Κάθισμα τοῦ Ἁγίου.

Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Βιώσας ὡς ἄγγελος, ἐν ἐγκρατείᾳ πολλῇ, οἰκείοις ἐν αἵμασι, τὴν σὴν ἁγίαν στολήν, ἐφοίνιξας Ὅσιε· ὅθεν ἐν ἀμφοτέροις, ἱερῶς διαλάμπων, δίδου ἡμῖν ὑψόθεν, τῇ θερμῇ σου πρεσβείᾳ, Ἐφραὶμ ὁσιομάρτυς, ἐν πᾶσι βοήθειαν.

Δόξα...Καὶ νῦν... τῆς Ἑορτῆς.

Κάθισμα τῆς Ἑορτῆς

Ἦχος Δι




φω ω ω ω νως κοι νην γαρ ε ορ την συν
αυ ταις ε ορ τα α ζου σιν εις δο ξαν και τι
μην της Σης Α να στα σε ως και δι αυ των
βο ω μεν σοι Φι λαν θρω πε Κυ υ ρι ε
τω λα ω σου πα ρα σχου το με γα ε ε ε
ε λε ο ο ος

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἐν τῷ ὄρει ἠσκησας, τῶν Ἀμώμων θέοφρον, καὶ ἐν τούτῳ ἤνυσας, τοῦ μαρτυρίου τὸν δρόμον· ὅθεν σε, διπλοῖς στεφάνοις ὁ ζωοδότης, ἔστεψεν, ὁσιομάρτυς Ἐφραὶμ ἀξίως, ἐκτενῶς ἐκδυσωποῦντα, ἐλεηθῆναι τοὺς σὲ γεραίροντας.

Ὁ Οἶκος.

Ἀπὸ νεότητος Χριστῷ ἀκολουθήσας Πάτερ, τὴν κοσμικὴν ἐπιφοράν, καὶ τῆς σαρκὸς τάς ἡδονάς, ἠρνήσω ὁλοτρόπως· καὶ τῇ θείᾳ μεταρσιούμενος ἀγαπήσει, ἐν ὄρει τῶν Ἀμώμων ἀγγελικῇ πολιτείᾳ διέλαμψας, καὶ τῆς θείας ἐνεργείας κατοικητήριον πέφηνας, ἱδρῶσιν ἀσκητικοῖς, σῶμα καὶ ψυχὴν ἐκκαθαρθείς, τῆς τῶν παθῶν ψυχοφθόρου συνοχῆς· καὶ χερσὶ μιαιφόνοις ἐπιδρομέων ἀλλοφύλων συσχεθείς, μαρτυρικὴν ἐπεδείξω στερρότητα, ποικιλοτρόπως αἰκισθείς, καὶ στρεβλώσεις ὑποστάς, καὶ βιαίως διὰ Χριστὸν θανατωθείς· ὅθεν ὁ ζωοδότης, διπλοῖς στεφάνοις σε ἔστεψεν, ὁσιομάρτυς Ἐφραὶμ, ἐκτενῶς ἐκδυσωποῦντα, ἐλεηθῆναι τοὺς σὲ γεραίροντας.

Συναξάριον.

Τῇ ε΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ἀθλήσεως τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Ἐφραὶμ, τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ, τοῦ ἐν τῷ κατὰ τὴν Ἀττικὴν ὄρει τῶν Ἀμώμων ἀσκήσαντος καὶ ἀθλήσαντος κατὰ τὸν δέκατον καὶ πέμπτον αἰῶνα.

Στίχοι.

Ἀσκήσει τὴν ἄθλησιν Ἐφραὶμ συνάψας ἀξίως δεδόξασαι παρὰ Κυρίου.

Πέμπτῃ Ἐφραὶμ χερσὶ φονόεσσαις λυγρὸν εὗρατο μόρον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Εἰρήνης.

Στίχοι.

Ξίφει θανοῦσα καὶ βιώσασα ξένως,
Εἰρηνικῶς τέθνηκας αὖθις, Εἰρήνη.
Εἰρήνη τιμηθεῖσα ἀνέγρετο καὶ θάνε πέμπτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ἀθλήσεως τῶν Ἁγίων Μαρτύρων Νεοφύτου, Γαΐου καὶ Γαϊανοῦ.

Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ καὶ σεβασμίῳ ναῷ τῶν Ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, τῷ ὄντι ἐν τοῖς Δαρείου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἀνάμνησις τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κύρου.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Καταβασίαι τοῦ Πάσχα.

Ἦχος δ΄ Πα

Ὠδὴ α΄. Ἄ να στα σε ως η με ρα λαμ πρυν ϑω μεν λα οι Πα α σχα Κυ ρι ου Πα α σχα ἐκ γαρ ϑα να του προς ζω ην καὶ ἐκ γης προς ου ρα νον Χρι στο ος ο Θε ος η μα ας δι ε βι βα σεν ε πι νι κι ον α α δο ον τας

Ὠδὴ γ΄. Δευ τε πο μα πι ω μεν και νον οὐκ ἐκ πε τρας α γο ο νου τε ρα τουρ γου με νον ἀλλ᾽ α φϑαρ σι ας πη γην ἐκ τα α φου ομ βρη σαν τος Χρι στου

Ὁ α΄ χορός

ἐν ω στε ρε


ου ου με ε θα
Ὠδὴ δ΄
Θ πι της θει ας φυ λα κης ο θε η
γο ρος Αβ βα κουμ στη τω μεθ η μων και δει
κνυ τω φα ε σφο ρον Αγ γε λον δι α πρυ
σι ως λε γον τα ση με ρον σω τη ρι α τω
κο σμω ο τι α νε στη Χρι στος ως παν
το δυ υ να α μος
Ὠδὴ ε΄.
Ο ρ θρι σω μεν ορ θρου βα θε ος και
αν τι μυ ρου τον υ μνον προ σοι σω μεν
τω Δε σπο τη και Χρι στον ο ψο με θα δι
και ο συ νης η λι ον πα σι ζω ην α να


τε ελ λο ον τα
Ὠδὴ στ'.
Κα τη ηλ θες εν τοις κα τω τα α τοις
της γης και συ νε τρι ψας μο χλους αι ω
νι ι ους κα το χους πε πε δη με ε νων Χρι
στε και τρι η με ρο ος ως εκ κη τους Ι ω νας
ε ξα νε ε στης του τα φου
Ὠδὴ ζ'.
Ο Παι αι δας εκ κα μι νου ρυ σα με
νος ἀγε νο με νος αν θρω πος πα σχει ως θνη
τος και δι α πα θους το θνη τον α φθαρ
σι ας εν δυ ει ει ευ πρε πει αν ο μο νος
ευ λο γη τος των Πα τε ε ρων Θε ος και



Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς…

Τιμιωτέρα πρώτου ἤχου.

Ἦχος δ΄ Πα

Στίχος α΄. Με γα λυ νει η ψυ χη μου τον Κυ υ ρι ον και η γαλ λι α σε το πνευ μα μου ε πι τω Θε ω τω σω τη ρι μου

Την Τι μι ω τε ε ραν των Χε ρου βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ κρι ι τως των Σε ρα φειμ την α δι α φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το κον Σε με γα λυ νο μεν

Στίχος β΄. Ο τι ε πε βλε ψεν ε πι την

τα πει νω σιν της δου λης αυ του ι δου γαρ
α πο του νυν μα κα ρι ου σι με πα σαι
αι γε νε αι
Την Τι μι ω τε ε ραν των Χε ρου
βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Στίχος γ΄.
Ο τι ε ποι η σε μοι με γα
λει α ο Δυ να τος και α γι ον το
ο νο μα αυ του και το ε λε ος αυ


του εις γε νε αν και γε νε αν τοις φο βου με
νοις αυ τον
Τ την Τι μι ω τε ε ραν των Χε ρου
βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Στίχος δ΄. Θ οι η σε κρα τος εν βρα χι
ο νι αυ του δι ε σκορ πι σεν υ πε
ρη φα νους δι α νοι α καρ δι ας αυ των
Τ την Τι μι ω τε ε ραν των Χε ρου


βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Στίχος ε΄. Κα θει λε δυ να στας α πο θρο
νων και υ ψω σε τα πει νους πει νων τας ε
νε ε πλη σεν α γα θων και πλου τουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φειμ την α δι α φθο ρως Θε ον Λο γον

τε κου σαν την ον τως Θε ο το κον Σε με γα λυ
Ν Π
νο μεν

Στίχος στ΄.
Ἄν τε λα βε το Ισ ρα ηλ

παι δος αυ του μνη σθη η ναι ε λε ε ους


κα θως ε λα λη σε προς τους πα τε ρας

η μων τω Α βρα αμ και τω σπερ μα τι αυ

του ε ως αι ω νος

Μ Π
Τ ην Τι μι ω τε ραν των Χε ρου βειμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε

Μ Π
ρα φειμ την α δι α φθο ρως Θε ον Λο

γον τε κου σαν την ον τως Θε ο το κον Σε με γα


Εἶτα ψάλλεται ὁ Εἱρμὸς
τῆς θ' ᾠδῆ τῶν Καταβασιῶν.
Ο Αγ γε λος ε βο ο α τη Κε χα ρι
τω με ε νη Α γνη Παρ θε νε χαι αι ρε και πα
λιν ε ρω χαι αι ρε ο σος Υι ος α νε ε
στη τρι η με ρος εκ τα φου
Καταβασία.
Φω τι ζου φω τι ζου η νε α Ι ε
ρου σα λημ η γαρ δο ξα Κυ ρι ι ου ε πι
σε α νε τει λε χο ρευ ε νυν και α γα αλ λου
Σι ων συ υ δε α γνη τερ που Θε ο το ο
κε εν τη ε γερ σει του το ο κου ου σου ου
ου ου

Ἐξαποστειλάριον.

Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Ἀσκητικοῖς παλαίσμασι, τὴν σὴν ζωὴν ἐλάμπρυνας, καὶ μαρτυρίου ἀγῶσιν, ὡς εὐωδέστατον θῦμα, καὶ προσφορὰ εὐπρόσδεκτος, Κυρίῳ προσενήνεξαι, Ἐφραὶμ ἀεὶ δεόμενος, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν ἱερὰν ἄθλησίν σου.

Ἐξαποστειλάριον τῶν Μυροφόρων, Ἦχος ὁ αὐτός




Β
εν αυ γα α α σαι
εξ ης προ ο ηλ θε εν η
λυ υ πη η η

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

Ἦχος δ᾽. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἦχος



Ἐκ νεότητος Ἅγιε, τῷ Χριστῷ ἠκολούθησας, κοσμικὴν τερπνότητα ἀπωσάμενος, καὶ πολιτείας λαμπρότητι, καὶ πόνοις ἀθλήσεως, ἐν τῷ ὄρει τῷ σεπτῷ, τῶν Ἀμώμων διέπρεψας, καὶ ἐδόξασας, τὸν Χριστὸν ἀμφοτέροις τοῖς καμάτοις, καὶ Ἀγγέλων ταῖς χορείαις, Ἐφραὶμ παμμάκαρ ἠρίθμησαι.

Στίχ. 

Ὡς ἀρνίον σε ἄκακον, ἐπελθόντες οἱ βάρβαροι, οἷα θῆρες ἄγριοι κατηκίζοντο, σὺ δὲ ἀτρέπτῳ φρονήματι, τὰ πάντα ὑπέμεινας, ἀτενίζων τῷ Χριστῷ, οὗ εἰς χεῖρας τὸ πνεῦμά σου, χαίρων δέδωκας, καὶ συνήφθης Ἁγίων ταῖς χορείαις, ὡς στερρὸς ὁσιομάρτυς, Ἐφραὶμ ἡμῶν ἀγαλλιαμα.

Στίχ. 

Ἐν Ὁσίοις ὡς Ὅσιος, διαλάμπεις μακάριε, καὶ ἐν ἀθλοφόροις ὡς μάρτυς ἔνθεος· ἐν ἀμφοτέρων γὰρ Ἅγιε, τοῖς πόνοις ἠρίστευσας, καὶ ἐδόξασας Χριστόν· διὰ τοῦτο θαυμάτων σοι

χάριν δέδωκεν, ὁ δεχθεὶς τοὺς ἁγίους σου ἀγῶνας· ὃν ἱκέτευε ἀπαύστως, Ἐφραὶμ ὅπερ τῶν τιμώντων σε.

Στίχ.

Εὐδοκίᾳ τῇ κρείττονι, τοῦ λαμπρῶς σε δοξάσαντος, μετὰ πολυχρόνιον τὰ σὰ λείψανα, ἐν γῇ κατάκρυψιν Ὅσιε, νῦν ἐφανερώθησαν, ὥσπερ ἄνθη νοητά, εὐωδίαν οὐράνιον, ἀποπνέοντα, καὶ θαυμάτων δυνάμεις ἐνεργοῦντα, τοῖς ἐν πίστει ἐξαιτοῦσιν, Ἐφραὶμ θέοφρον τὴν χάριν σου.

Δόξα Αἴνων τοῦ Ἁγίου.

Ἦχος λπ ϙ Πα



Δο ο ξα Πα τρι ι ι ι και αι Υι ω

και Α γι ι ω Πνευ μα α α τι

Τη ης α ρε τη η η η ης τη η ην

χλαι αι αι ναν τω της α θλη σε ως αι μα α α

τι ε φοι οι οι νι ι ι ι ξας ο σι ο

μαρ τυς Εφραιμ α γω νι σα α με νο ος

νο μι ι ι ι μως τα ας α ο ρα τους γα

αρ αρ χα ας του σκο τους θρι ι ι ι ι α

α αμ βε ε ευ σας των ε ρω με νων την ρυ

μην ουκ ε ε πτη ξα ας τα α νω πο


θω ω ων και αι ζη η τω ω ων και εν
πα α σιν α α α α ρι ι ι στε ε ευ σας λαμ
πα δη φο ρος α νε δρα α α μες εν τω νυμ
φω νι της α ι δι ι ι ι ου ου ου ζω ω
ης α αλλ ως του θει ου φω το ο ο ος κοι
νω ω ω νος σκο ο ο ο τους πα θων α παλ
λα α α ξον τους ε ορ τα ζον τα α αστην
μνη η μη ην σου ου ου ου

Καὶ νῦν τῆς Ἑορτῆς.

Ἦχος δ Πα



Δοξολογία Μεγάλη εἰς ἦχον πλ. α΄. Ἐπιλογές.

Ἦχος πλ. δ΄ Πα




Πνεύμα
Κύριε ο Θεός ο αμνός του Θεού
ο Υιός του Πατρός ο αίρων την αμαρτίαν του κόσμου ελέησον ημάς
ο αίρων τας αμαρτίας του κόσμου
Προσδέξαι την δέησιν ημών ο καθήμενος εκ δεξιών του Πατρός και ελέησον ημάς
Ότι συ ει μόνος Άγιος Συ ει μόνος Κύριος Ιησούς Χριστός εις δόξαν Θεού Πατρός αμήν


Καθ ε κα στην η με ραν ευ λο γη σω
σε και αι νε σω το ο νο μα α σου εις τον αι
ω ω να και εις τον αι ω να του αι ω νος
Κα τα ξι ω σον Κυ ρι ε εν τη η με
ρα ταυ τη α να μαρ τη τους φυ λα χθη ναι
η μας
Θυ λο γη τος ει Κυ ρι ε ο Θε ος
των πα τε ε ρων η μων και αι νε
το ον και δε δο ξα σμε ε νον το ο νο μα α
σου εις τους αι ω νας α μην
Γε νοι το Κυ ρι ε το ε λε ος σου εφ


η μας ν΄ η κα θα περ ηλ πι ι ι σα μεν ε
πι σε
χ q
Δ Κ
χ q Ευ λο γη το ος ει Κυ ρι ε
δι δα ξον με τα δι και ω μα τα Σου (τρίς)
χ q
Κ
χ q Κυ ρι ε κα τα φυ γη ε γε νη θης η
+
μιν εν γε νε α και γε νε α χ q ε γω
+
ει πα Κυ ρι ε ε λε η σο ον με ν΄ η ι α σαι
την ψυ χην μου ου ο τι η μαρ τον Σοι
χ q
Κ
χ q Κυ ρι ε προς σε κα τε φυ γον δι δα ξο ον
ν΄ η ν΄ η
με του ποι ειν το θε λη μα α σου ο τι συ ει
ει ο Θε ος μου
χ q


Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω
τι σου ο ψο με θα φως
Πα ρα τει νον το ε λε ος σου ου τοις γι
νω σκου σι Σε Ἅ γι ος ο Θε ος ν΄ η Α γι ος Ι
σχυ ρος ν΄ η Α γι ος α θα να τος ε λε
(τρίς)
η σον η μας
Δο ξα Πα τρι ι και Υι ω και Α γι ω Πνευ
μα τι
Και νυν και α ει ν΄ η και εις τους αι ω
νας των αι ω νων α μην
Ἅ γι ος α θα να τος ε λε η σον η


μας

Ἀσματικὸν.


γι ι ι ος ο Θε ε ε ος
α α α γι ι ος Ι ι σχυ υ υ

ρος
γι ος Α α α θα να α τος ε ε λε η
η σο ο ον η η η η μα α α ας

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος Δι



Εἰς τὴν Θείαν Λειτουργίαν.

«Εὐλογημένη», «Χριστὸς ἀνέστη» τρίς.

Ἦχος πλ. δ΄ Πα



Εἰς τὴν Θείαν Λειτουργίαν.

Ἀντίφωνα καὶ εἰσοδικὸν τοῦ Πάσχα.

ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος λ πλ. Νη

1. Κυ ρι ε ε λε ε η σον
2. Κυ ρι ε ε λε ε ε η σον
3. Κυ ρι ε ε λε ε ε η σον
4. Κυ ρι ε ε λε ε ε η σον
5. Κυ ρι ε ε λε ε ε η σον
6. Κυ ρι ε ε λε ε ε ε η σον

ΕΤΕΡΑ.

1. Κυ ρι ε ε λε ε ε η η σον
2. Κυ ρι ε ε ε λε ε ε η η σον

3.
Κυ ρι ε ε λε η η σον

4.
Κυ ρι ε ε ε λε η σο ο ον

5.
Κυ ρι ε ε λε ε η σον

6. 
Κυ ρι ε ε λε ε ε η σον

7. 
Κυ ρι ε ε λε η σον

8.
Κυ ρι ε ε λε η σον

9. 
Κυ ρι ε ε λε η σον

10.
Κυ ρι ε ε λε ε η σον

11. 
Κυ ρι ε ε λε ε ε η σον

12.
Σοι Κυ ρι ε

Ἀντίφωνον α΄.

Ἦχος Δι

Σπ/χ. α΄. Ἄ λα λα ξα τε τω Κυ ρι ω πα σα η γη

Τ αις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Σπ/χ. β΄. Ψα λα τε δη τω ο νο μα τι αυ του δο τε δο ξαν εν αι νε σει αυ του

Τ αις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Σπ/χ. γ΄. Θι πα τε τω Θε ω ως φο


βε ρα τα ερ γα σου εν τω πλη θει της δυ
να με ως σου ψευ σον ται σε οι εχ θροι
σου
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας
Σπ/χ. δ'.
Πα σα η γη προ σκυ νη σα
τω σαν σοι και ψα λα τω σαν σοι ψα λα
τω σαν δη τω ο νο μα τι σου ψι
στε
Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

Δόξα... Καὶ νῦν...



Ἀντίφωνον β΄.




Σπ/χ. β'.
Του γνω ναι εν τη γη την ο
δον σου εν πα σιν εθνε σι το σω τη ρι
ον σου
Σω σον η μας Υι ε Θε ου ο α
να στας εκ νε κρων ψαλ λον τας σοι αλ λη
λου ι α
Σπ/χ. γ'.
Εξο μο λο γη σα σθω σαν
σοι λα οι ο Θε ος εξο μο λο γη
σα σθω σαν σοι λα οι παν τες
Σω σον η μας Υι ε Θε ου ο α
να στας εκ νε κρων ψαλ λον τας σοι αλ λη

Γ Δ
λου ι α

Σπίχ. δ'. χ Μ
Ευ λο γη σαι η μας ο Θε

Δ Γ Μ
ος και φο βη θη τω σαν αυ τον παν τα τα

πε ρα τα της γης

χ Δ Γ Δ Μ
Cω σον η μα ας Υι ε Θε ου ο α

Δ +
να στας εκ νε κρων ψαλ λον τας σοι αλ λη

Γ Δ
λου ι α

χ
Δο ξα Πα τρι και Υι ω και Α γι

ω Πνευ μα τι

χ
Και νυν και α ει και εις τους αι αι

+
ω νας των αι αι ω νων α μην














Ο μο νο γε νης Υι ος και Λο γος του
Θε ου α θα να τος υ πα α α αρ χων και
κα τα δε ξα με νος δι α την η με τε ραν
σω τη ρι ι αν σαρ κω θη η ναι εκ της
Α γι ας Θε ο το κου και α ει παρ θε
νου Μα ρι ας α τρε ε πτως ε ε ναν θρω
πη σας σταυ ρω θεις τε Χρι στε ο Θε ος
θα να α τω θα να τον πα τη σας ει εις
ων της Α γι ας Τρι α δος συν δο ξα ζο
ο με νος τω Πα τρι και τω Α γι ω Πνευ μα
τι σω σον η μα α ας

Ἀντίφωνον γ΄.

Ἦχος λπ ϙ Πα

Στίχ. α΄. Ἀ να στη τω ο Θε ος και δι

α σκορ πι σθη τω σαν οι εχ θροι αυ του

και φυ γε τω σαν α πο προ σω που αυ του

οι μι σουν ταις αυ τον

Χρι στο ος α νε ε στη η ε εκ νε

κρω ω ων θα να α τω θα α να α το ο ον



πα τη η η σα α α ας και αι τοι οις εν

τοι οις μνη η μα α α σι ζω ω ην χα ρι

σα α α με νο ος

Στίχ. β΄. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτω-

σαν, ὡς τήκεται κηρός ἀπό προσώπου πυρός.

Σπ/χ. γ΄.



Σπ/χ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καί εὐφρανθῶμεν ἐν αὐτῇ.

Εἰσοδικὸν τοῦ Πάσχα.

Ἦχος πλ. Δι



Ἀπολυτίκιον.

Ἦχος Δι



Τὸ Ἀναστάσιμον. Ἦχος β΄.




Ταις Μυ ρο φο ο ροις γυ ναι ξι πα
ρα το μνη μα ε πι στας ο Αγ γε λος ε βο ο ο
ο α τα μυ ρα τοις θνη τοις υ παρ χει αρ
μο ο δι α Χρι στος δε δι α φθο ρας ε
δει χθη αλ λο τρι ος αλ λα κραυ γα σα τε α
νε στη ο Κυ υ ρι ος πα ρε χων τω κο
σμω το με γα ε ε ε λε ος

Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.



Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον τῆς ἑορτῆς τῶν Μυροφόρων.

Αὐτόμελον Ἦχος β’



ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΑΓΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ Θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Σπ/χ. **Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ᾽ ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ πατήρ. Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, εἴπερ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα· ἐπ᾽ ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

Ἀλληλούϊα. (γ΄). Ἦχος πλ. β΄.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Στίχ. Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κοινωνικὸν. Εἰς μνημόσυνον αἰώνιον....

Εἰς Μνημόσυνον...

Κωνσταντίνου Πρίγγου

Ἄρχοντος Πρωτοψάλτου τ.Μ.τ.Χ.Ε.

Ἦχος Πα

Ἔκτασις. χ – π′




ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω αι ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω
ω νι ι ι ι ι ι αι ω ω ω ω ω ω
ω νι ι ι ο ον ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε σται δι ι ι ι και
αι αι ο ο ο ο ο ος Αλ λη λου ου ου
ου ι ι ι α α α α α α α α
α

ΚΟΙΝΩΝΙΚΟΝ ΤΟΥ ΠΑΣΧΑ.

Ἦχος λπ̈ϙ Πα

Με Cω ω μα Χρι ι ιστου ου με τα λα

α βε ε τε ε ε ε πη γη η ης α θα

να α του γε ε ευ σα α α α σθε

ε ε ε



Στίχος. Με γα το μυ στη ρι ον της Σης





Χρι στε ε Α να στα σε ως

Cω ω ω ω ω ω ω μα Χρι ι ιστου ου

με τα λα α βε ε τε ε ε ε πη γη η ης

α θα να α του γε ε ευ σα α α α σθε

ε ε ε


Στίχος.
Δει πνω πα ρα γε γο νας ε κων
παθος ο Α θα να τος
Ω ω ω ω ω ω ω μα Χρι ι ιστου ου
με ταλα α βε ε τε ε ε ε πη γη η ης
α θα να α του γε ε ευ σα α α α σθε
ε ε ε
Στίχος.
Το τε και ο Α δης ε πι κραν
θη λο γο θε του με νος ψυ χα ας
α φαι ρου με νος
Ω ω ω ω ω ω ω μα Χρι ι ιστου ου
με ταλα α βε ε τε ε ε ε πη γη η ης


α ϑα να α του γε ε ευ σα α α α
σϑε ε ε ε
Σπίχος.
Το τε και Μα ρι α η μυ ρι
σα σα ευ φραν ϑη προ σκυ νη σα σα Θε
ο ον προ του Μνη μα τος
Χω ω ω ω ω ω ω μα Χρι ι ι στου ου
με τα λα α βε ε τε ε ε ε πη γη η ης
α ϑα να α του γε ε ευ σα α α α σϑε
ε ε ε
Σπίχος.
Θι πα τε τω Πε τρω και τοις λοι
ποις Α πο στο λοις ο τι α νε στη εκ νε


κρω ων ο α θα να τος
Ω ω ω ω ω ω ω μα Χρι ι ι στου ου
με τα λα α βε ε τε ε ε ε πη γη η ης
α θα να α του γε ε ευ σα α α α σθε
ε ε ε Α α αλ λη η η λου ου
ι ι ι α α α α α α α α α

Μετὰ τὴν Θείαν Κοινωνίαν.

Ἦχος λ πα



σας η η μας των Α γι ων σου με τα σχειν

μυ υ στη η η ρι ι ι ι ων τη ρη σον

η μα ας εν τω σω α γι α σμω ο

λην την η με ε ραν με λε ταν την δι και ο

συ υ νη η ην σου ου ου ου Αλ λη λου ι α α



α α α α α α

Εἴη τὸ ὄνομα.

Ἦχος Δι



Καταβασίαι τοῦ Πάσχα.

Ἦχος δ΄ Πα

Ὠδὴ α΄.

Ἀ να στα σε ως η με ρα λαμ πρυν
ϑω μεν λα οι Πα α σχα Κυ ρι ου Πα α σχα
ἐκ γαρ ϑα να του προς ζω ην καὶ ἐκ γης
προς ου ρα νον Χρι στο ος ο Θε ος η μα ας
δι ε βι βα σεν ἐ πι νι κι ον α α δο ον
τας

Ὠδὴ γ΄.

Δευ τε πο μα πι ω μεν καὶ νον οὐκ ἐκ
πε τρας α γο ο νου τε ρα τουρ γου με νον ἀλλ
α φϑαρ σι ας πη γην ἐκ τα α φου ομ βρη
σαν τος Χρι στου ἐν ω στε ρε ου ου με ε ϑα


Ὠδὴ δ′
Θ πι της θει ας φυ λα κης ο θε η
γο ρος Αβ βα κουμ στη τω μεθ η μων και δει
κνυ τω φα ε σφο ρον Αγ γε λον δι α πρυ
σι ως λε γον τα ση με ρον σω τη ρι α τω
κο σμω ο τι α νε στη Χρι στος ως παν
το δυ υ να α μος
Ὠδὴ ε′.
Ορ θρι σω μεν ορ θρου βα θε ος και
αν τι μυ ρου τον υ μνον προ σοι σω μεν
τω Δε σπο τη και Χρι στον ο ψο με θα δι
και ο συ νης η λι ον πα σι ζω ην α να
τε ελ λο ον τα


Ὠδὴ στ'.
Κα τη ηλ θες εν τοις κα τω τα α τοις
της γης και συ νε τρι ψας μο χλους αι ω
νι ι ους κα το χους πε πε δη με ε νων Χρι
στε καιτρι η με ρο ος ως εκ κη τους Ι ω νας
ε ξα νε ε στης του τα φου
Ὠδὴ ζ'.
Ο Παι αι δας εκ κα μι νου ρυ σα με
νος ἀγε νο με νος αν θρω πος πα σχει ως θνη τος
και δι α πα θους το θνη τον ἀ φθαρ σι ας
εν δυ ει ει ευ πρε πει αν ο μο νος ευ λο
γη τος των Πα τε ε ρων Θε ος και υ
πε ε ρε εν δο ο ξος


Ὠδὴ η′.
Ἅγι νου μεν ευ λο γου μεν και προ
σκυ νου μεν τον Κυ ριον
Ἅγυ τη η κλη τη η και α
γι ι α η με ρα η μι α των Σαβ
βα α α των ιη η βα σι λι ις και κυ ρι
α ε ορ των ε ορ τη και πα νη γυ
ρις ε ε στι ι πα α νη γυ ρε ων εν η
ευ λο γου ου ου μεν ιη Χρι στον εις
τους αι ω ω ω να α α ας
Ὁ Αγ γε λος ε βο ο α τη Κε χα ρι
τω με ε νη Α γνη Παρ θε νε χαι αι ρε και



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.